# 08 IULIE

# PARACLISUL SF.CUVIOS TEOFIL DE LA PANTOCRATOR-ATHOS

## PARACLISIER-GR


Ο ΑΓΙΟΣ
ΘΕΟΦΙΛΟΣ
Ο ΜΥΡΟΒΛΥΤΗΣ

# Παρακλητικός Κανών Ὁσίου ΘΕΟΦΙΛΟΥ τοῦ Μυροβλύτου

Εὐλογήσαντος τοῦ Ἱερέως ὁ ρνβ΄(142) Ψαλμός καί τό Θεός Κύριος μετά τῶν στίχων αὐτοῦ. Εἶτα τά Τροπάρια. Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Θεοφίλου τὰς λιτὰς ἐκζητήσωμεν, οἱ καθ' ἑκάστην χαλεπῶς χειμαζόμενοι, καὶ στένοντες κραυγάζοντες ἐκ βάθους ψυχῆς· Ἄθω σεμνολόγημα, καὶ τοῦ Ὄρους τό ἔρνος, ἐφ' ἡμῖν σπλαγχνίσθητι, σοῖς ἀχρείοις ἱκέταις, καὶ ἀπὸ πάσης ῥῦσαι συμφορᾶς, τοὺς προσκυνοῦντας σὸν ἄφθαρτον σκήνωμα.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας Σου λαλεῖν οἱ ἀνάξιοι, εἰμὴ γὰρ Σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ Σοῦ, Σοὺς γὰρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

Ψαλμός ν' (50).

Εἶτα ὁ Κανών.

Ὠδή α΄. Ἦχος δ΄. Ἀνοίξω τό στόμα μου.

Ἐλπίς μου Θεόφιλε, καί δόξα θεία, γεγέννησαι· τῆς μάνδρας γάρ πρόβατον, κἀγώ τῆς φίλης σου· διό δέξαι μου, τόν ὕμνον Μυροβλύτα, κροτοῦντα τοῦ μύρου σου, τὴν χάριν σήμερον.

Ῥευμάτων βορβόρου με, καί δυσωδίας Θεόφιλε, ἀπόσμηξον δέομαι τῶν ἀκαθάρτων παθῶν· καί τῷ μύρῳ σου λαμπρῶς εὐωδιάσας, Χριστοῦ μύρου ποίησον, ἄξιον σκήνωμα.

Ζωῆς ἐφιέμενος, τῆς ἀϊδίου καί κρείττονος, εἰκότω ἠλόγησας, τῆς ἐπικήρου ζωῆς, μακρυνόμενος, σαρκίνης συγγενείας, Χριστῷ συννεκρούμενος, καί συζωούμενος.

Θεοτοκίον.

Φανεῖσαν Πανάμωμε, μύρου τοῦ θείου ἀλάβαστρον, καί σκεῦος ἐξαίρετον, τῆς εὐωδίας Χριστοῦ, ἱκετεύω Σε, παθῶν τῆς δυσωδίας, βορβόρου τε λύτρωσαι, τῆς ἁμαρτίας με.

Ὠδή γ΄. Τούς Σούς ὑμνολόγους.

Ναμάτων τῆς χάριτος ἐπλήσθης, ἀσκήσει συντόνῳ καθαρθείς, δακρύοις δέ λουσάμενος, καθαρτικοῖς Θεόφιλε, κρᾶσιν καινήν τετέλεκας, πηγή τῶν μύρων γενόμενος.

Ὁ τάφος σου Μάκαρ ὥσπερ κρήνη, ναμάτων ὁρᾶται ζωτικῶν, ὡς ῥεύματα τά μύρα σου, ποταμηδὸν

προχέουσα, θαλάσσας τῶν παθῶν ἡμῶν, καί λογισμῶν κατακλύζοντα.

Τό μύρον Χριστὸς ἐν τῇ ψυχῇ σου, Θεὸφιλε ῥεῦσαν νοητῶς, ὡς χείλεσι σοῖς μέλεσι, μύρου πηγὴν ἐξέχεε, τῆς χάριτος τοῦ Πνεύματος, σεπτὸν δεικνύων σε σκήνωμα.

Ἐν σώματι Ἄγγελος ἐδείχθης, θείε σύν Ἀγγέλοις λειτουργῶν, πάχους σαρκός καί φύσεως ὑπερηρμὲνος Ὅσιε, θεουργικῶς λαμπόμενος, καί θαυμαστῶς κλεϊζόμενος.

Θεοτοκίον.

Ἰδού ἡ Παρθὲνος ἀνακράζει, τῷ πάντων Δεσπότη καί Υἱῷ· καλὸς εἶ ὁ Νυμφίος μου, ἰδού καλός ὡραῖος τε· είς τὴν όσμὴν τοῦ μύρου Σου, σπουδῇ δραμούμαι όπίσω Σου.

Ὡς ἕτοιμον, ἐν συμφοραῖς καὶ κινδύνοις ἡμεῖς προστάτην, καταφεύγομεν εὐλαβῶς πρὸς σὲ Θεόφιλε, σεπτὲ τοῦ Ἄθωνος Μυροβλύτα.

Ἐπίβλεψον, ἐν εὐμενεία πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Κάθισμα. Ἦχος β'. Πρεσβεία θερμή.

Ἀκέστωρ ταχὺς ὑπάρχεις ὦ Θεόφιλε, τοῖς πόθῳ ἀεὶ τῷ σκήνει σου προστρέχουσι, καὶ τρανῶς κραυγάζουσιν· ἀφθαρσίας σὲ τῷ ἐνδύσαντι, χιτῶνα

πρέσβευε Παμβασιλεῖ, ἐνδῦσαι ἡμᾶς στολὴν χρηστότητος.

Ὠδή δ΄. Τήν ἀνεξιχνίαστον.

Ὥριμον ὡς βότρυν σε μάκαρ Χριστὸς, θείας ἐξ ἀμπέλου δεξάμενος, ἐναποθλίβει, τῆς ἐρημίας τῷ ληνῷ· τὸ καταρρεῦσαν γλεῦκος δέ, μύρου θείαν βρύσιν είργάσατο.

Ποῦ μένεις Νυμφίε μου, ποῦ τὴν σκηνὴν, Σοῦ ἐν μεσημβρίᾳ κατέπληξας; Ὁ Μυροβλύτης ἀνεβόα τῷ Χριστῷ· είς τὴν όσμὴν τῶν μύρων Σου, μύρον ἐκδραμοῦμαι ληψόμενος.

Ῥεύματα Θεόφιλε, πλάνης δεινῆς, κλύσας τῶν δακρύων σου χύσεσιν, ἁμαρτιῶν μου, καὶ παθῶν τούς ποταμοὺς, είς τὲλος άποξήρανον, μύρων σου τοῖς ρεύμασι δὲομαι.

Θεοτοκίον.

Λέγε μοι Νυμφίε μου, λέγε τρανῶς· ποῦ ποτε ποιμαίνεις τά πρόβατα; Ἡ Νύμφη κράζει, τῷ Νυμφίῳ καί Υἱῷ· όσμή γάρ ἡ τῶν μύρων Σου, πὰντας τούς φιλοῦντας Σε εἵλκυσεν.

Ὠδή ε΄. Ἐξὲστη τά σύμπαντα.

Ὁ μέγας ἐν Ἄθωνι, Θεόφιλος τοῖς δάκρυσιν, ἱδρῶτας κεράσας τῶν ἀγώνων, μύρον τό θεῖον ἡμῖν ἐσκεύασε, πυρί τῷ τοῦ Πνεύματος καλῶς, ἑψήσας τό φάρμακον, είς ψυχῶν καινὴν κάθαρσιν.

Σωμάτων τά τραύματα, καί τῶν ψυχῶν Θεόφιλε, ὥσπερ ἀντιδότῳ δραστηρίω, μύρῳ καθαίρεις τῷ ἐκ τοῦ τὰφου σου, ἰὸν ἀποπλύνων νοητόν, ζήλῳ τοῦ Δεσπότου σου, σταλαγμοῖς τῶν δακρύων σου.

Πυρὸς ἐνεργέστερον, τό μύρον σου Θεόφιλε, πᾶσαν διατρέχον Ἐκκλησίαν, βλύζει πηγάζει, ζεῖ τε καί δρᾷ μυστικῶς, τοῖς πίστει προστρέχουσιν αὐτῷ, φλὲγον ἁμαρτήματα, καί τεφροῦν πάθη ἅπαντα.

Ὑπήρεισε Ὅσιε, στύλοις ἑπτά τοῦ Πνεύματος, Πάτερ, ἐπταρίθμοις ἐπιπνοίαις, οἶκον οἰκεῖον σε ἡ ἑκούσιος, καί ζῶσα Σοφία τοῦ Θεοῦ, ᾧ ἐπανεπαύσατο, σὺν Πατρί καί τῷ Πνεύματι.

Θεοτοκίον.

Ὁ Λόγος ἐν μήτρᾳ Σου, Κόρη σκηνώσας εἴργασται, ταύτην μυροθήκην καινού μύρου· ὅθεν Παρθὲνε Ἁγίων θεῖαι ψυχαί, ὀπίσω Σου ἔδραμον θερμῶς· εἶ καλή βοῶσαι Σοι, εἶ καλή κόρη Δέσποινα.

Ὠδή στ΄. Τὴν θείαν ταύτην.

Ἀνάστα δεῦρο πλησίον μου, ψυχῇ τοῦ Θεοφίλου προσφθὲγγεται, Νυμφίος Κύριος· οἴκῳ τοῦ νάρδου εἰσέλθωμεν, καί τῆς ὀσμῆς τοῦ μύρου μου μεταλάβωμεν.

Καινά Θεόφιλε κράζει σοι, Νυμφίος ὁ Χριστός τά τελούμενα· ὁ χειμὼν λέλυται, δεῦρο τό ῥόδον ἐξήνθησεν· εἰς τὴν ὀσμὴν ὡς φίλος δράμε τῶν μύρων μου.

Ἐγώ φησὶν ὁ ἐρώμενος, ἐγὼ Νυμφίε σπεύδω ὀπίσω Σου· ὀσμὴ γάρ μύρων Σου, πάντων τῶν μύρων ὑπὲρκειται, ἥτις ἡμῶν τὸν πόθον, μύρον εἰργάσατο.

Γλυκύ μοι πρᾶγμα καί ὄνομα, ὑπάρχει ὦ Θεόφιλε ἔνδοξε· γλώσσης ἐντρύφημα· τερπνὸν καρδίας μελέτημα· καί τοῦ νοός μοι ἥδιστον ἀγαλλίαμα.

Θεοτοκίον.

Νοός μου πᾶσαν σκοτόμαιναν, ἀπέλασον καί, δώρησαι Ἄχραντε τῇ παναθλίᾳ μου, ψυχῇ ἀκτῖνα Σῆς χάριτος, σύ γάρ ἐλπίς ἀπάντων καί ἡ βοήθεια.

Διάσωσον, ἀπὸ παντοίων κινδύνων τοὺς σοὺς ἱκέτας, ὅτι πρὸς σὲ θερμῶς θεοφόρε προστρέχομεν, ὡς ῥύστην σὲ ἔχοντες καὶ προστάτην.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

Κοντάκιον. Ἦχος β'. Πρεσβεία θερμή.

Προστάτα θερμὲ καὶ πάντων καταφύγιον, καὶ νόσων δεινῶν ταχὺ ἀλεξιτήριον, ἐκτενῶς βοῶμέν σοι, θεοφόρε Θεόφιλε· πρόφθασον φάνηθι, καὶ ἐκ κινδύνων λύτρωσαι ἡμᾶς, σὲ γὰρ βεβαίαν ἐλπίδα κεκτήμεθα.

Προκείμενον. *Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.*

Στ. *Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.*

Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ματθαῖον.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός μου, καὶ ούδεὶς έπιγινώσκει τὸν Υἱόν, είμὴ ὁ Πατήρ, ούδὲ τὸν Πατέρα τις έπιγινώσκει, είμὴ ὁ Υἱός, καὶ ᾧ ἐὰν βούληται ὁ Υἱὸς άποκαλύψαι. Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κᾀγὼ άναπαύσω ἡμᾶς. Ἄρατε τὸν ζυγόν μου έφ' ὑμᾶς, καὶ μάθετε άπ' έμοῦ, ὅτι πρᾶος είμί, καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε άνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν. Ὁ γὰρ ζυγός μου χρηστός, καὶ τὸ φορτίον μου έλαφρὸν έστί.

Δόξα. Ταῖς τοῦ Σοῦ Ὁσίου...

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

Προσόμοιον. Ἦχος πλ. β'. Ὅλην άποθέμενοι. Στ. *Ἐλέησόν με ὁ Θεός...*

Ὅλην μου Θεόφιλε, είς σὲ τηρῶ τὴν έλπίδα, καὶ θερμοῖς τοῖς δάκρυσιν, άπὸ τῆς καρδίας μου ἱκετεύω σε, πρὸς Θεὸν ποίησον, ἱκεσίαν μάκαρ, τῶν πταισμάτων λύσιν δοῦναί μοι, καὶ άγαλλίασιν, ψυχικὴν καὶ βίου διόρθωσιν· καὶ νῦν σε πρὸς τὸν Κύριον, πρεσβευτὴν θερμότατον κέκτημαι· ἔχεις καὶ γὰρ Πάτερ, ίσχὺν πρὸς τὸ πρεσβεύειν έκτενῶς, ὑπὲρ τῶν πίστει τιμώντων σε, άξιομακάριστε.

ᾨδὴ ζ'. Ούκ έλάτρευσαν.

Ἱερούργησας, άμέμπτως ὦ Θεόφιλε θυσίαν ἄμωμον, τῷ Βασιλεῖ τοῦ παντός· καρδίαν καθάρας

σου, εὐχαῖς καὶ δάκρυσιν· ὅθεν δίδωσι, σοι ἀμοιβὴν κατάλληλον, μύρον ἄλλοις δεδειχώς σε.

Σεσωμάτωται, τό μύρον τό οὐράνιον, Χριστὸς ὁ Κύριος, διά φιλίαν βροτῶν· αὐτὸν δὲ Θεόφιλος φιλὴσας ἄριστα, Χριστὸς γίνεται, μύρῳ καινῷ χρισάμενος, ἐκ σαρκός δ'ἐκβλύζει μύρα.

Μύρω χρίσας με, Χριστός ἀγαλλιάσεως, δουλείας ἔλυσε, καὶ τυραννίδος πικρᾶς· ἀλλ'αὖθις δεδούλωμαι, αἰσχίσταις πράξεσιν ἐλευθέρωσον, αἰσχρᾶς δουλείας. Ὅσιε, σοῦ τῷ μύρῳ καταχρίσας.

Συναγάλλου, οὐρανέ συνευφρανέσθωσαν, ἀνθρώποις, σήμερον Ἀγγέλων αἱ στρατιαί, βροτὸς ἐπουράνιος, Ἄγγελος, γηΐνος ἑορτάζεται, νῦν ὁ θεόφρων Ὅσιος, εἰς τιμὴν Θεοῦ τῶν ὅλων.

Ὑψιβάμων, ἀρεταῖς ὑπερουράνιος, πάνσοφε Ὅσιε, τῇ πολιτεία τελῶν, τό φρόνημα μέτριος, ὑπῆρχες καὶ ταπεινός, ὑπὲρ ἅπαντας· Θεός σε, καὶ ἀνύψωσεν, ὑπὲρ πάντας θαυμασίως.

Θεοτοκίον.

Ἐκλεξάμενος, Νυμφίος ὁ ὡραῖος Σε, Παρθὲνε, Δὲσποινα, τῶν γηγενῶν, ἐκ φυλῆς, λαμπρῶς παρεστὴσατο, ἐκ δεξιῶν Αὐτοῦ. Δεῦρο, Νύμφη μου ἀπό Λιβάνου λέγων Σοι, δεῦρο νύμφη μου καὶ Μῆτερ.

Ὠδὴ η'. Παῖδας εὐαγεῖς.

Ὑψώσας Χριστὸν ἐν Ἐκκλησία, ἀλήθειαν σοῦ ὁ λάρυγξ ἐμελὲτησεν· στόμα σὸν λελάληκε, σοφίας τά

ρήματα· τῶν ἀρωμάτων ὤφθησαν αἱ σιαγὸνες σου, φιὰλαι· διά τοῦτο Χριστὸς σε, μύρου θείου κρὴνην, ἀνὲδειξε τῷ κόσμῳ.

Νέος οὐρανός μοι καθορᾶται, ὁ θεῖος ναός σου ὧ Θεόφιλε, ἐν ᾧ εἰσερχόμενος, βλὲπω ὥσπου ἥλιον, τὴν ἱεράν εἰκόνα σου καὶ ἐνοπτρίζομαι, τὴν χάριν σου, καθάπερ σελήνην, καὶ ὡς λαμπρὸν ἄστρον, τό λείψανόν σου Πὰτερ.

Πληροῦται σοι ρῆμα Ἡσαΐου, προγνῶναι σε πονηρόν γάρ ὦ Θεόφιλε, ἐξελέξω ἄριστα, ἀγαθόν πανεὺφημε· ὀπίσω του δ'ἔδραμες γνώμης εὐθητητι, ἀκρότατον, ἐφέσεως ἕως, ἔφθασας ὦ μάκαρ, Θεὸν εἰς τούς αἰῶνας.

Σύ μοι προστασία γενοῦ Πάτερ παρὸντι βραχεῖ ἐν βίῳ διατρίβοντι· σύ νοσοῦντι, φάνηθι, βοηθὸς Θεόφιλε· καὶ σύ ψυχοραχοῦντι μοι ἐγγύς παράστηθι καὶ κρίσεως, ἐν βήματι ὄντι, σύ μοι δίδου χεῖρα, καὶ ρῦσαι καταδίκης.

Θεοτοκίον.

Ὄλβον Σε κοινὸν ὦ Θεοτόκε, καὶ δόξαν οἱ Σέ τιμῶντες πάντες ἔχοντες, πίστει Σοι προστρέχομεν, πόθῳ Σου δεόμενοι, τῆς ἀδοξίας λύτρωσαι, τῆς ἐν τῷ μέλλοντι, τρυφῆς τῆς αἰωνίου καὶ δόξης, ἐν σκηναῖς δικαίων, ἡμᾶς καταξιοῦσα.

Ὠδὴ θ'. Ἅπας γηγενὴς.

Γῆ καὶ οὐρανὸς, τὸ μύρον θαυμάζουσι, τό σὸν Θεόφιλε· τὴν γὰρ ἐν σαρκὶ ζωὴν, καλῶν παντοίων

κοσμήσας εἴδεσιν, τό κατ᾽εἰκόνα Ὅσιε, λαμπρῶς ἀπείληφας· σῶμα δὲ σου, τηρήσας ἀμόλυντον, Βασιλεύς ὡς λαμπρός μύρῳ κέχρισαι.

Ἵνα τὴν στολὴν, ἐνδύσῃ Θεόφιλε, ἥν ἐξεδύσατο, πρὶν ὁ παλαιὸς Ἀδάμ, Ἀδὰμ τὸν νὲον καλῶς, ἐνδέδυσαι, καὶ τῆς σαρκὸς τό κώδιον, χαίρων ἀπέρριψας· διά τοῦτο, μύροις τε καί στὲμμασι, Βασιλεἰαν λαμπρὰν σοι μνηστεύεται.

Νοῦς οὐκ ἐξαρκεῖ, καί λόγος ἀνθρὼπινος ἐκδιηγήσασθαι, τάς ὑπερφυεῖς τιμάς, καί δόξας Πὰτερ, ἅς περ ἀπείληφας, συμβασιλεύων ἄληκτα, Χριστῷ μακάριε· τό δὲ μύρον, σύμβουλον σαφὲστατον, ὑπέρ φύσιν ἐκβλύζον ἐκ τάφου σου.

Χαίρεις νῦν χαράν, τὴν ὄντως ἀΐδιον καί ἀνεκλάλητον, δόξης ἀστραπτόμενος, ἀκαταλήπτου θείαις λαμπρότησι, Θεόφιλε πανάριστε καί τῆς θεώσεως, ἀπολαύεις, πανολβίως πάντοτε, τρισηλίου φωτὸς αὐγαζόμενος.

Θεοτοκίον.

Λάμψον μοι χαρᾶς τό φὲγγος δι᾽ἄφατον τῆς εὐσπλαχνίας Σου ἔλεος καί δίωξον, τὰ νέφη πὰντα τῆς κατηφείας μου, καί ἀληθῆ ἀπόδος μοι τὴν ἀγαλλὶασιν· ἵνα πίστει, τὴν θείαν λοχείαν Σου, ἀνυμνῶ καί ἀεί μεγαλύνω σε.

## Μεγαλυνάρια.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ

μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβείμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον Σέ μεγαλύνομεν.

Δεῦτε εὐφημήσωμεν οἱ πιστοί, τὸν νέον ὁπλίτην, Θεόφιλον τὸν σοφόν, τὸν τῆς Ἐκκλησίας, θερμότατον προστάτην, πάντων δὲ τῶν ἐν θλίψει, ῥύστην καὶ πρόμαχον.

Κάραν σου τὴν πάντιμον ἀσκητά, τιμῶμεν ἐκ πόθου, τὴν συνθλάσασαν τοῦ ἐχθροῦ, ὀλέθριον κάραν, καὶ λύτρωσαι κινδύνων, Θεόφιλε τρισμάκαρ, τῇ μεσιτείᾳ σου.

Νῦν τὸν τῆς ἀσκήσεως ἀθλητήν, μοναστῶν τὸ κλέος, τόν Θεόφιλον οἱ πιστοί, ἀξίως τιμῶμεν· λοιμοῦ γὰρ καὶ κινδύνων, λυτροῦται τοὺς ἐν πίστει, αὐτῷ προστρέχοντας.

Πάντων τῶν Ὁσίων τὰς ἀρετάς, καλῶς ἀνεμάξω, ὦ Θεόφιλε καὶ λαμπτήρ, μέγιστος ἐγένου, Τριάδος τῆς ἀκτίστου, τὸ φῶς ἡμῖν ἐκπέμπων, τοῖς εὐφημοῦσί σε.

Χαίροις τῶν Ὁσίων ἡ καλλονή, καὶ τῶν ἐκ καρδίας, δυσωπούντων πανευσεβῶς, τὰς παντοίας νόσου, ἀεὶ ἀποδιώκων, τῶν ἐπικαλουμένων σε σεπτέ Θεόφιλε.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν εἰς τό σωθῆναι ἡμᾶς.

Τό Τρισάγιον καὶ τὰ Τροπάρια ταῦτα. Ἦχος πλ. β΄.

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοί προσφέρομεν, ἐλέησον ἡμᾶς.

Δόξα.

Κύριε ἐλέησον ἡμᾶς, ἐπί Σοὶ γὰρ πεποίθαμεν. Μή ὀργισθῇς ἡμῖν σφόδρα, μηδέ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ᾽ ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαχνος καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σὺ γὰρ εἶ Θεός ἡμῶν καὶ ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου καὶ τὸ ὄνομά Σου ἐπικεκλήμεθα.

Καὶ νῦν.

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες εἰς Σέ μή ἀστοχήσομεν, ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων, Σὺ γὰρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

Εἶτα ὁ Ἱερεύς τὴν Ἐκτενῆ Δέησιν, ἡμῶν ψαλλόντων τό λιτανευτικόν· Κύριε ἐλέησον. Ὑπὸ τοῦ Ἱερέως Ἀπόλυσις. Καὶ τῶν Χριστιανῶν ἀσπαζομένων τὴν Εἰκόνα τοῦ Ἁγίου καὶ χριομένων δι᾽ ἁγίου ἐλαίου, ψάλλονται τὰ παρόντα Τροπάρια. Ἦχος β᾽. Ὅτε ἐκ τοῦ ξύλου.

Ὅλην ὦ Θεόφιλε εἰς σέ, τηρῶ τὴν ἐλπίδα, καὶ θερμοῖς τοῖς δάκρυσιν, ἀπὸ τῆς καρδίας μου, ἱκετεύω σε, πρὸς Θεὸν ποίησον, ἱκεσίαν μάκαρ, τῶν πταισμάτων λύσιν δοῦναί μοι, καὶ ἀγαλλίασιν, ψυχικὴν καὶ βίου διόρθωσιν. Καὶ νῦν σε πρὸς τὸν Κύριον, πρεσβευτὴν θερμότατον κέκτημαι· ἔχεις καὶ

γὰρ Πάτερ, ἰσχὺν πρὸς τὸ πρεσβεύειν ἐκτενῶς, ὑπὲρ τῶν πίστει τιμώντων σε, ἀξιομακάριστε.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου είς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.